μεθ' ὃ ὁ Διάκον. ἐμφανισθεὶς ἔμπροσθεν τῶν ἁγίων Πυλῶν μετὰ τοῦ ἱεροῦ Ποτηρίου, ἐκφωνεῖ· *Μετὰ φόβου Θεοῦ πίστεως καὶ ἀγάπης προσέλθετε*· ὁ Ἱερεὺς εὐλογῶν τὸν λαὸν ἐκφωνεῖ, *Σῶσον ὁ Θεὸς τὸν λαόν σου*· καὶ ὁ α' Χορ. ψάλλει εἰς ἦχον β' τὸ *Εἴδομεν τὸ φῶς τὸ ἀληθινόν*· ὁ Ἱερεὺς λαβὼν καὶ ὑψῶν τὸ ἱερὸν Ποτήριον, λέγει ταπεινῇ τῇ φωνῇ ἐπὶ τῆς ἁγίας Τραπέζης, *Εὐλογητὸς ὁ Θεὸς ἡμῶν*· εἶτα στρέφων πρὸς τὸν λαὸν λέγει ἐκφώνως : *Πάντοτε νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων*· ὁ Χορ. *Ἀμήν*, καὶ ὁ Διάκον. *Ὀρθοὶ μεταλαβόντες τῶν θείων ἁγίων*, καὶ ὁ Ἱερ. τὴν Ἐκφώνησιν, *Ὅτι σὺ εἶ ὁ ἁγιασμὸς ἡμῶν*· ὁ Διάκ. *Ἐν εἰρήνῃ προέλθωμεν· τοῦ Κυρίου δεηθῶμεν*· ὁ Χορὸς *Κύριε ἐλέησον* τρίς· ὁ Ἱερεὺς τὴν ὀπισθάμβωνον εὐχὴν *Ὁ εὐλογῶν τοὺς εὐλογοῦντάς σε, Κύριε*· μετὰ τὴν εὐχὴν οἱ Χοροὶ ψάλλουσι τρὶς χῦμα, ἀλλ' εὐλαβῶς, εἰς ἦχον β' τὸ *Εἴη τὸ ὄνομα Κυρίου εὐλογημένον ἀπὸ τοῦ νῦν καὶ ἕως τοῦ αἰῶνος*· εἶτα ὁ Διάκον. *Τοῦ Κυρίου δεηθῶμεν*· ὁ Χορὸς *Κύριε ἐλέησον* τρίς· ὁ Ἱερεὺς *Εὐλογία Κυρίου καὶ ἔλεος αὐτοῦ ἔλθοι ἐφ' ἡμᾶς*· ὁ Προϊστάμενος λέγει τὸ *Στερεώσαι Κύριος*, ὡς ἐν τῷ Ἑσπερινῷ, ὁ Ἱερεὺς πάλιν *Δόξα σοι ὁ Θεός*· *ὁ ἀναστὰς ἐκ νεκρῶν* κτλ. εἰς τὸ τέλος *Δι' εὐχῶν τῶν ἁγίων Πατέρων ὑμῶν*· οἱ Χοροὶ *Ἀμήν*, καὶ ἀσπασάμενοι πάντες τὴν τοῦ ἱερουργοῦντος χεῖρα καὶ λαβόντες σὺν τῷ ἀντιδώρῳ τὴν εὐλογίαν αὐτοῦ, ἐξέρχονται εὐχαριστοῦντες τῷ Θεῷ.